ePublishing
ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ NATIONAL DOCUMENTATION CENTRE

## Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας

Τόμ. 4 (1939)

Δελτίον ΧΑΕ 4 (1936-1938), Περίοδος Γ'




# Παχωμίου Ρουσάνου ανέκδοτος γραμματική συγγραφή

*Ιωάννης Ν. ΚΑΡΜΙΡΗΣ*

doi: [10.12681/dchae.1426](https://doi.org/10.12681/dchae.1426)

**Βιβλιογραφική αναφορά:**

ΚΑΡΜΙΡΗΣ Ι. Ν. (2013). Παχωμίου Ρουσάνου ανέκδοτος γραμματική συγγραφή. *Δελτίον της Χριστιανικής Αρχαιολογικής Εταιρείας*, *4*, 100–107. https://doi.org/10.12681/dchae.1426

https://epublishing.ekt.gr | **e-Εκδότης:** EKT | **Πρόσβαση:** 22/02/2025 14:47:34

ΔΕΛΤΙΟΝ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

# Παχωμίου Ρουσάνου ανέκδοτος γραμματική συγγραφή

Ιωάννης ΚΑΡΜΙΡΗΣ

Δελτίον ΧΑΕ 4 (1936-1938), Περίοδος Γ'• Σελ. 100-107

**ΑΘΗΝΑ 1939**

ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE
ePublishing

www.deltionchae.org

ΥΠΟΜΝΗΜΑ

Ὑπὸ
ΙΩΑΝΝΟΥ ΚΑΡΜΙΡΗ

# ΠΑΧΩΜΙΟΥ ΡΟΥΣΑΝΟΥ ΑΝΕΚΔΟΤΟΣ ΓΡΑΜΜΑΤΙΚΗ ΣΥΓΓΡΑΦΗ

Ὁ Ζακύνθιος Ῥουσᾶνος τάσσεται ἀπὸ μακροῦ εἰς τοὺς ἐξοχωτέρους Ἕλληνας Θεολόγους καὶ Γραμματικοὺς τοῦ Ιϛ′ αἰῶνος. Διὰ τῆς ὑπ' ἐμοῦ ἐπιχειρηθείσης ἐκδόσεως θεολογικῶν ἔργων τοῦ Ζακυνθίου λογίου ἀπεδείχθη, ὅτι οὗτος ὑπῆρξεν ὁ σπουδαιότατος δογματικὸς καὶ ἀντιρρητικὸς συγγραφεύς, τὸν ὁποῖον ἔχει νὰ δείξῃ ἡ Ἑλληνικὴ Ὀρθόδοξος Ἐκκλησία ἀπὸ τῶν μέσων τοῦ ΙΕ′ αἰῶνος μέχρι τῶν χρόνων τοῦ Οἰκουμενικοῦ Πατριάρχου Ἱερεμίου Β′ καὶ τῶν τοπικῶν συνόδων τοῦ ΙΖ′ αἰῶνος [1]. Τὰ δὲ γραμματικὰ ἔργα τοῦ Παχωμίου Ῥουσάνου κατέστησαν τὸ πρῶτον γνωστὰ κυρίως διὰ τοῦ Mingarelli, [2] ἔκτοτε δὲ προσείλκυσαν τὴν προσοχὴν καὶ ἄλλων ἐρευνητῶν καὶ ἐξετιμήθησαν δεόντως. Ἰδιαιτέρως ἀξία προσοχῆς εἶναι τὰ κατάλοιπα τοῦ Παχωμίου Ῥουσάνου ἐκεῖνα, τὰ ὁποῖα ἀναφέρονται εἰς τὴν Νεωτέραν Ἑλληνικὴν Γλῶσσαν. Αὐτὸς ὑπῆρξε — δυνάμεθα νὰ εἴπωμεν — ὁ πρῶτος Ἕλλην, ὁ ὁποῖος εἰδικῶς ἐπραγματεύθη περὶ τῶν Νεοελληνικῶν διαλέκτων [3].

Κατωτέρω δημοσιεύομεν ἀνέκδοτον—μέχρι τοῦδε—γραμματικὴν συγγραφὴν τοῦ Παχωμίου Ῥουσάνου ἐκ τοῦ ὑπ' ἀριθ. 290 Ἑλληνικοῦ κώδικος τῆς Ἀμβροσιανῆς Βιβλιοθήκης. Περιέχει δὲ ὁ προμνημονευθεὶς κῶδιξ καὶ ἄλλα ἔργα τοῦ περὶ οὗ ὁ λόγος Ζακυνθίου λογίου καὶ ἔχει γραφῆ διὰ τῆς χειρὸς αὐτοῦ τούτου [4].

---

1) Ι. Καρμίρη, Ὁ Π. Ῥουσᾶνος καὶ τὰ ἀνέκδοτα δογματικὰ ἔργα αὐτοῦ. Ἐν Ἀθήναις 1935, ἰδίᾳ σελ. 66 κ. ἑ., 78 κ. ἑ.

2) J. A. Mingarelli, Codices graeci manuscripti apud Nanios patricios Venetos asservati. Bononiae 1784, ἰδίᾳ σελ. 511 κ. ἑ., 261 κ. ἑ.

3) Πρβλ. ἐπ' ἐσχάτων Εὐάγγ. Κολοκοτσᾶν, Αἱ πρῶται ὑπὸ Ἑλλήνων ἔρευναι τῶν διαλέκτων τῆς Νέας Ἑλληνικῆς Γλώσσης. [Ἀνάτυπον ἐκ τοῦ Α′ Τόμου τῆς «Ἀκαδημίας»]. Ἐν Ἀθήναις 1935, σελ. 87 κ. ἑ.

4) Πρβλ. A. Martini et D. Bassi, Catalogus codicum Graecorum Bibliothecae Ambrosianae. Tomus I. Mediolani 1906, σελ. 324.

## Περὶ λέξεων διαφόρων δεχομένων διάφορον σημαινόμενον

Ἄγων, ἡ μετοχή, παροξύνεται — ἀγών, τὸ περιεκτικόν, ὀξύνεται· φ 255 α Αἶνος, ἡ πόλις καὶ ὁ ἔπαινος, προπερισπᾶται — αἰνός, ὁ κακός, ὀξύνεται· ἄγριος, ὁ ἠγριωμένος καὶ ὁ ἀνήμερος, προπαροξύνεται — ἀγρεῖος καὶ ἀγροῖκος, ὁ ἐν ἀγρῷ διαιτώμενος· Ἀφέτη, ἡ νῆσος, παροξύνεται — ἀφετή, ἡ ἀπόλαυσις, ὀξύνεται· ἁπλοῦς, ὁ ἀπερίεργος καὶ ἀποίκιλος, περισπᾶται· ἄπλους, ὁ μὴ πλεόμενος, παροξύνεται· ἀληθές, τὸ ὄνομα, ὀξύνεται — ἄληθες, τὸ ἐπίρρημα τὸ δηλοῦν τὸ ἀληθῶς, προπαροξύνεται· ἄνακες, ὅτε ἐπὶ τῶν διοσκούρων, προπαροξύνεται — ἀνακές, ὅτε ἐπιθετικὸν κατὰ στέρησιν τοῦ ἄκους, ὀξύνεται· ἆρα, ὁ σύνδεσμος διαπορητικῶς, προπερισπᾶται — ἄρα, ὁ συλλογιστικὸς σύνδεσμος, παροξύνεται — ἀρά, ἡ εὐχή, ὀξύ, νεται· ἀνακῶς, τὸ ἐν φροντίδι καὶ ἐπιμελείᾳ εἶναι, περισπᾶται· Αἰόλος, τὸ κύριον, παροξύνεται — αἴολος, ὁ ποικίλος, προπαροξύνεται· ἄγος, τὸ μίασμα, παροξύνεται — ἀγός, ὁ ἡγεμών, ὀξύνεται· ἁρπαγή, τὸ ἁρπάζειν, ὀξύνεται — ἁρπάγη, τὸ σκεῦος, παροξύνεται· ἀφρός, τὸ προσηγορικόν, ὀξύνεται — ἄφρος, τὸ ἐθνικόν, παροξύνεται· Ἀρίστων, τὸ κύριον, παροξύνεται — ἀριστῶν, ἡ μετοχή, περισπᾶται· ἄρνειος, τὸ κτητικόν, προπαροξύνεται — ἀρνεῖος, ὁ ποιμήν, προπερισπᾶται — ἀρνειός, τὸ νεογενὲς πρόβατον, ὀξύνεται· ἄγροικος, ὁ ἀμαθής, προπαροξύνεται — ἀγροῖκος, ὁ ἐν ἀγρῷ διαιτώμενος, προπερισπᾶται· αἰνότοκος, ὁ ἐπὶ κακῷ τεχθείς, προπαροξύνεται — αἰνοτόκος, ἡ κακὰ γεννῶσα, παροξύνεται· ἄντικρυς, τὸ φανερῶς, προπαροξύνεται — ἀντικρύ, τὸ ἐξ ἐναντίας, ὀξύνεται· ἄγνος, τὸ φυτόν, παροξύνεται — ἁγνός, ὁ καθαρός, ὀξύνεται· Ἄγκυρα, ἡ πόλις Γαλατῶν, προπαροξύνεται — ἀγκύρα, ἡ σχοῖνος τοῦ πλοίου ἤτοι τὸ παχὺ σχοινίον τοῦ πλοίου, παροξύνεται· Ἀδέλφιος, τὸ κύριον, προπαροξύνεται — ἀδελφιός, ὁ . . . . . . . . . . ὀξύνεται· Ἄδρα, ἡ πόλις Ἰλυρίδος, παροξύνεται — ἁδρά, ἡ παχεῖα, ὀξύνεται· ἀζόμενος, ὁ ξηραινόμενος, προπαροξύνεται — ἀζομένος, ὁ ἐντρεπόμενος, παροξύνεται· ἄθροος, ὁ ἀτάραχος, προπαροξύνεται — ἀθρόος, ὁ συνηθροισμένος, παροξύνεται· || Ἄκρις, ἡ πόλις, παροξύνεται — ἀκρίς, φ 255 β τὸ ζῷον, ὀξύνεται· ἄμητος, ὁ καιρὸς τοῦ θέρους, προπαροξύνεται — ἀμητός, αὐτὰ τὰ τεθερισμένα, ὀξύνεται· ἀμφίς, χωρίς, ἐκτός, ὀξύνεται, ὅ καὶ ἐπιθετικὸν τινες λέγουσιν — Ἄμφις δὲ τὸ κύριον, παροξύνεται· Αὔγη, τὸ κύριον, παροξύνεται — αὐγή, τὸ προσηγορικόν, περισπᾶται· ἀρτίτοκος, ὁ νεωστὶ τεχθείς, προπαροξύνεται — ἀρτιτόκος, ἡ νεωστὶ τεκοῦσα, παροξύνεται· ἀρτίτομος, ὁ νεωστὶ κοπείς, προπαροξύνεται — ἀρτιτόμος, ὁ νεωστὶ τεμών, παροξύνεται· ἀτέχνως, τὸ ἄνευ τέχνης, παροξύνεται — ἀτεχνῶς, τὸ ἀληθῶς, περισπᾶται· ἅττα, ἅτινα, δασύνεται — ἄττα, τινά, ψιλοῦται· αἴρων, ἡ μετοχή, παροξύνεται — αἰρῶν, ὁ συλλαβών, περισπᾶ-

ται· αὕτη, ἡ δεικτικὴ ἀντωνυμία, παροξύνεται — αὐτὴ δὲ ἐπιταγματικῶς, ὀξύνεται· ἄγχου, τὸ ῥῆμα τὸ προστακτικὸν τὸ σημαῖνον τὸ πνίγου, παροξύνεται —ἀγχοῦ, τὸ ἐπίρρημα τὸ τοπικὸν τὸ σημαῖνον τὸ πλησίον, περισπᾶται· ἀγχίαλος, ὁ παραθαλάσσιος τόπος, προπαροξύνεται — Ἀγχιαλός, ἡ πόλις, ὀξύνεται.

Βίος, ἡ ζωή, παροξύνεται — βιός, τὸ τόξον, ὀξύνεται· βρότος, τὸ ἐκ τῆς μάχης μίασμα, παροξύνεται — βροτός, ὁ ἄνθρωπος, ὀξύνεται· βασίλεια, ἡ βασίλισσα καὶ τὸ κύριον, προπαροξύνεται — βασιλεία, ἡ ἀρχή, παροξύνεται· βίκος, τὸ σπέρμα, παροξύνεται — βικός, τὸ ἀγγεῖον, ὀξύνεται· Βῆλος, τὸ κύριον, προπερισπᾶται — βηλός, ὁ βατήρ, ὀξύνεται· βλῆχρον, ἡ βοτάνη, προπερισπᾶται — βληχρόν, τὸ ἀσθενές, ὀξύνεται· βαιός, ὁ μικρός, ὀξύνεται — Βαῖος, τὸ κύριον, ὁ τὸν Ἀλεξάνδρου Βαίου δὲ κάμψας τοῦ κυβερνήτου τάφον, προπερισπᾶται· Βίων, τὸν κύριον, παροξύνεται — βιῶν, ἡ μετοχή, περισπᾶται· βοών, ἡ παρ᾿ Ἀλεξάνδρῳ φυλακή, ὀξύνεται — βοῶν, ἡ μετοχὴ καὶ τῶν ζῴων, περισπᾶται· βρύων, ἡ μετοχή, παροξύνεται, — βρυῶν, ὁ αἰγιαλός Κυρίνης, περισπᾶται.

Γαῦλος, ὁ εὐαπάτητος, προπερισπᾶται — γαυλός, τὸ ποιμενικὸν ἀγγεῖον τὸ δεχόμενον τὸ γάλα, ὀξύνεται· Γέλων, τὸ κύριον, παροξύνεται — γελῶν, ἡ μετοχή, περισπᾶται· γλαυκός, ὁ ὀφθαλμός, τὸ τριγενές, ὀξύνεται — Γλαύκη, τὸ κύριον, παροξύνεται — γλαυκή, ἡ γλαυκόφθαλμος, ὀξύνεται· Γαλάτια, τὸ κύριον, ἔστι δὲ ὄνομα Νήριδος, προπαροξύνεται — Γαλατία, ἡ χώρα, παροξύνεται· γαληνή, ἡ ἥσυχος, ὀξύνεται· ||
φ 256 α γραῖος, τὸ ἐθνικόν, προπερισπᾶται — γραιός, ὁ πρεσβύτερος, ὀξύνεται.

Δίνη, ἡ συστροφὴ τῶν ὑδάτων, παροξύνεται — δεινή, ἡ κακὴ καὶ κακοῦργος, ὀξύνεται· Δίνων, τὸ κύριον, παροξύνεται — δινῶν, ἡ μετοχή, ὁ περιστρέφων, περισπᾶται· δεινός, ὁ δυνατὸς καὶ ὁ κακός, ὀξύνεται — δῖνος, τὸ ποτήριον καὶ εἶδος ὀρχήσεως, προπερισπᾶται· δῆμος, ὁ ὄχλος, προπερισπᾶται — δημός, τὸ λίπος, ὀξύνεται· Δολίχη, πόλις Πιερίας, παροξύνεται — δολιχή, ἡ μακρὰ μάχαιρα, ὀξύνεται· δόλιος, ὁ πανοῦργος, προπαροξύνεται — Δολίος, τὸ κύριον, παροξύνεται· Δόλων, τὸ κύριον, παροξύνεται — δολῶν, ἡ μετοχή, περισπᾶται· διογενής, ὁ εὐγενής, ὀξύνεται — Διογένης, κύριον, παροξύνεται· δόκος, ἡ δόκησις καὶ ἡ ἀγχόνη, παροξύνεται — δοκός, τὸ ξύλον, ὀξύνεται· Δρύμος, τὸ κύριον, παροξύνεται, — δρυμός, προσηγορικόν, ὀξύνεται· Δίων, τὸ κύριον, παροξύνεται — διῶν, ἡ μετοχή, περισπᾶται· δεξαμένη, ἡ ὑποδεξαμένη, παροξύνεται — δεξαμενή, τὸ δοχεῖον, ὀξύνεται.

Ἕξ, ὁ ἀριθμός, δασύνεται καὶ ὀξύνεται — ἔξ, ἡ πρόθεσις, ψιλοῦται καὶ ὀξύνεται· εἷς, ὁ ἀριθμός, δασύνεται καὶ περισπᾶται — εἶς, ἡ πρόθεσις, ψιλοῦται καὶ βαρύνεται· Εὐάνθης, τὸ κύριον, παροξύνεται — εὐανθής, ὁ εὐθαλής, ὀξύνεται· ἔλεος, ὁ οἶκτος, προπαροξύνεται — Ἐλέος, τὸ κύριον, ὄνομα ποταμοῦ, παροξύνεται· Ἔλπις, τὸ κύριον, ὁ τοῦ Ἀκέστου υἱός, παροξύνεται, — ἐλπίς, τὸ θηλυκόν, ὀξύνεται· ἐξαίρετον, τὸ ἐπί-

λεκτον, προπαροξύνεται· Εὐπείθης, τὸ κύριον, παροξύνεται—εὐπειθής, ὁ πειθήνιος, ὀξύνεται· Εὐσθένης, τὸ κύριον, παροξύνεται — εὐσθενής, ὁ ρωμαλέος, ὀξύνεται· Εὐτύχεια, τὸ κύριον, προπαροξύνεται — εὐτυχία, τὸ προσηγορικόν, παροξύνεται· ἔχθρα, ἡ μάχη, παροξύνεται — ἐχθρά, ἡ πολεμία, ὀξύνεται· ἕτερος, ὁ ἄλλος, δασύνεται καὶ προπαροξύνεται — ἑταῖρος, ὁ φίλος, δασύνεται καὶ προπερισπᾶται· ἕρμαιος, ὁ λόφος, ψιλοῦται καὶ προπαροξύνεται — ἑρμαῖος, τὸ ἐπίθετον, προπερισπᾶται· ἐρίνεος, ὁ τῆς ἀγρίας συκῆς καρπός, προπαροξύνεται — ἐρινεός, τὸ δένδρον, ὀξύνεται· εἴκων, ὁ πειθόμενος, παροξύνεται — εἰκών, ἡ γραφή, ὀξύνεται· εἰδυία, ἡ ἐπισταμένη, παροξύνεται — Εἴδυια, τὸ κύριον, ἡ μήτηρ τῆς Μηδίας, προπαροξύνεται· ἐλάσσων, ὁ μικρότερος, παροξύνεται — ἐλασσῶν, ἡ μετοχή, ὁ μειῶν, περισπᾶται· Εὐσεβών, τὸ ὄνομα, ὀξύνεται — εὐσεβῶν, ἡ μετοχή, περισπᾶται· ἐξαίρει, ὑψοῖ, αὔξει, παροξύνεται — ἐξαιρεῖ, ρύεται, περισπᾶται· || φ 256 β ἐπί, ἡ πρόθεσις, ὅταν ᾖ καθ' ὑπερβατὸν κειμένη, παροξύνεται, οἷον τῆς γῆς ἔπι, ὅταν δὲ προτίθεται λέξεων, ὀξύνεται, οἷον ἐπὶ τῆς ψυχῆς· Ἐπάρχεια, τὸ κύριον, προπαροξύνεται — ἐπαρχία,ἡ τοποθεσία, παροξύνεται· ἑνάς, ἡ μονάς,ὀξύνεται καί δασύνεται-ἐννάς, τὰ ἐννέα, ψιλοῦται καὶ ὀξύνεται· ἕκτος, τὸ ἀριθμητικόν, παροξύνεται καὶ δασύνεται — ἐκτός, τὸ χωρίς, ὀξύνεται καὶ ψιλοῦται· ἔλευσις, ἡ ἄφιξις, προπαροξύνεται — Ἐλευσίς, πόλις Ἀττικῆς, ὀξύνεται· ἐλεών, τὸ θηλυκόν, ὀξύνεται — ἐλεῶν, ἡ μετοχή, περισπᾶται· ἐλάων, ὁ διώκων, παροξύνεται — ἐλαῶν, τὸ περιεκτικόν, περισπᾶται.

Ζωόν, τὸ ζῶν, ὀξύνεται — ζῷον, τὸ προσηγορικόν περισπᾶται.

Ἥραιος, τὸ κύριον, προπαροξύνεται — Ἡραῖον, τὸ ἱερὸν τῆς Ἥρας, προπερισπᾶται· ἥλιος, τὸ προσηγορικόν, προπαροξύνεται — Ἠλεῖος, τὸ ἐθνικόν, προπερισπᾶται· ἥττων, ὁ χείρων, παροξύνεται — ἡττῶν, ὁ νικῶν, περισπᾶται· Ἡράκλειος, τὸ κύριον, προπαροξύνεται — Ἡρακλεία ἡ πόλις, τὸ κτητικόν, παροξύνεται.

Θύρσος, τὸ κύριον, παροξύνεται — θρυσός, τὸ στέμμα τῶν γάμων, ὀξύνεται· Θεότοκος, ὁ ὑπὸ Θεοῦ τεχθείς, προπαροξύνεται — Θεοτόκος, ἡ Θεὸν τεκοῦσα, παροξύνεται· θέα, ἡ ὅρασις καὶ ἡ θεωρία, παροξύνεται — θεά, ἡ θεός, ἡ μοῦσα, ὀξύνεται· Θήρων, τὸ κύριον, παροξύνεται — θηρῶν, ἡ μετοχή, περισπᾶται· θάμβος, ἡ ἔκπληξις, παροξύνεται· θαμβός, ὁ ἐκπεπληγμένος, ὀξύνεται· θέρμη, ἡ θερμότης, παροξύνεται — θερμή, ἡ θερμαινομένη, ὀξύνεται· θόλος, ὁ οἶκος τοῦ πρυτανείου, παροξύνεται — θολός, ὁ τεταραγμένος ἢ τὸ μέλαν τῆς σήπης, ὀξύνεται.

Ἴων, καὶ τὸ κύριον καὶ τὸ ἐθνικόν, παροξύνεται — ἰών, ὁ ἰοῦ ἀνάμεστος καὶ ὁ πορευόμενος, ὀξύνεται· Ἶρος, ὁ προσκίτης, προπερισπᾶται — ἱρός, ὁ θαυμαστός, ὀξύνεται· ἵδρυμος, ὁ ἑδραζόμενος, προπαροξύνεται — ἱδράμος, ὁ ἀφιερωθείς, παροξύνεται· Ἱέρων, τὸ κύριον, παροξύνεται — ἱερῶν, ὁ ἀνατιθείς, μετοχή, περισπᾶται· ἴον, τὸ ἄνθος, παροξύνεται — ἰόν, τὸ πορευόμενον, ὀξύνεται· Ἵππων, τὸ κύριον, παροξύνεται — ἱππών,

τὸ περιεκτικόν, ὀξύνεται· ἰχθύς, τὸ προσηγορικόν, ὀξύνεται — Ἴχθυς, τὸ κύριον, ὁ ἀνὴρ τῆς Κορωνίδος, παροξύνεται· ἰωνιά, ὁ τόπος τῶν ἴων, ὀξύνεται — Ἰωνία, ἡ κακία ἢ ἡ χώρα, παροξύνεται· Ἴνδος, ὁ ποταμὸς Ἰνδίας, παροξύνεται — Ἰνδός, τὸ ἐθνικόν, ὀξύνεται· ἶρις, τὸ τόξον, προπερισπᾶται — ἴρις, τὸ κρίνον ἢ βοτάνη, παροξύνεται.

Κακή, τὸ ἐπιθετικόν, ἡ πονηρά, ὀξύνεται — κάκη, ἀσθένεια ἢ κακία, παροξύνεται· κρίνων, ὁ δοκιμάζων, ἡ μετοχή, παροξύνεται — κρινών, ὁ τόπος τῶν κρίνων, ὀξύνεται· κίων, ὁ στύλος, παροξύνεται — κιών, ὁ πορευόμενος, ὀξύνεται· κύρτος, τὸ ἁλιευτικὸν πλέγμα, παροξύνεται — φ 257 α || κυρτός, ὁ ἐπίσημος, ὀξύνεται· κῆρ, ἡ ψυχή, περισπᾶται — κήρ, ἡ θανατικὴ μοῖρα, ὀξύνεται· κάμπη, ὁ τῶν λαχάνων σκώληξ, παροξύνεται — καμπή, ἡ ἀπόκαμψις, ὀξύνεται· Κορῖος, τὸ κύριον, προπερισπᾶται — κοριός, τὸ προσηγορικόν, ὀξύνεται· κούρικος, τὸ ἐμπόριον, προπαροξύνεται — κουρικός, τὸ ξύλινον σκεῦος, ὀξύνεται· Κούριον, ἡ πόλις, προπαροξύνεται — κουρεῖον, ὁ τόπος ἐν ᾧ κείρονται, προπερισπᾶται· Καλλισθένης, τὸ κύριον, παροξύνεται — καλλισθενής, τὸ ἐπίθετον, ὀξύνεται· Κροτών, ἡ πόλις καὶ ὁ φθείρ τῶν κυνός, ὀξύνεται — κροτῶν, ἡ μετοχή, περισπᾶται· κάλος, ἡ σχοῖνος, καὶ κάλλος, ἡ μορφή, παροξύνεται — καλός, ὁ ἀγαθός, ὀξύνεται — καλῶς, τὸ τῆς μεσότητος ἐπίρρημα, περισπᾶται· κόμπος, ἡ ἀλαζονεία, παροξύνεται — κομπός, ὁ ἀλαζών, ὀξύνεται· Κλεῖτος, τὸ κύριον, προπερισπᾶται — κλειτός, τὸ ἐπιθετικόν, ὀξύνεται· κρίνω, ὁ ἐνεστώς, παροξύνεται· κρινῶ, ὁ μέλλων, περισπᾶται· κύων, τὸ ζῷον, παροξύνεται — κυῶν, ἡ μετοχή, περισπᾶται, κυῶ γὰρ τὸ ῥῆμα· Κάνθος, τὸ κύριον, παροξύνεται, συνεστρατεύσατο δὲ οὗτος τοῖς Ἀργοναύταις — κανθός, ἡ θρίξ τοῦ βλεφάρου, ὀξύνεται· κύριος, τὸ ἐπίθετον, προπαροξύνεται — Κυριός, τόπος Μακεδονίας, ὀξύνεται· Κίρρα, τὸ κύριον, παροξύνεται — κιρρά, ἡ πυρροδής, ὀξύνεται· καινή, ἡ νέα, ὀξύνεται — Καίνη, πόλις τῆς Πελοποννήσου, ἔστι δὲ καὶ ἀκρωτήριον τῆς Αἰολίδος, παροξύνεται· Κόρωνος, τὸ ὄρος, προπαροξύνεται — Κορωνὸς δὲ ὁ ἀγκών, ὀξύνεται· Κῆρος, ὁ ποταμὸς Ἀρμενίας, προπερισπᾶται — κηρός, ὁ συνεγνωσμένος, ὀξύνεται· Κήναιος, τὸ κύριον, προπαροξύνεται — Κηναῖος, ὁ Διόνυσος, προπερισπᾶται.

Λᾶγος, τὸ κύριον, προπερισπᾶται, γέγονε δὲ πατὴρ Πτολεμαίου — λαγώς, τὸ ζῷον, ὀξύνεται· λάρος, τὸ ὄρνεον, παροξύνεται — λαρός, ὁ ἡδύς, ὀξύνεται· λάβε, ἡ κοινὴ διάλεκτος, παροξύνεται — λαβέ, ἡ ἀτθίς, ὀξύνεται· Λυσίας, ὁ Ἀθηναῖος ῥήτωρ, παροξύνεται· λαμπρά, ἡ φαιδρά, ὀξύνεται· λάβῃ, δέξηται, παροξύνεται — λαβή, ἡ πρόφασις, ὀξύνεται· Λῶτος, τὸ κύριον καὶ τὸ μάντευμα, προπερισπᾶται — λωτός, τὸ ἄνθος, ὀξύνεται· λεύκη, τὸ φυτόν, παροξύνεται — λευκή, τὸ ἐπίθετον, ὀξύνεται· λόγιον, τὸ μάντευμα, προπαροξύνεται — λογεῖον, τὸ τοῦ θεάτρου, προ-

30) Κῆρος . . . προπαροξύνεται A.

περισπᾶται· Λίπαρα, νῆσος Σικελίας, προπαροξύνεται—λιπαρά, ἡ εὐτραφής, ὀξύνεται· λιθότομος, ὁ ὑπὸ λίθου τμηθείς, προπαροξύνεται—λιθοτόμος, ὁ τοὺς λίθους τέμνων, παροξύνεται· Λάκων, τὸ ἐθνικόν, παροξύνεται—λακῶν, ἡ μετοχή, περισπᾶται· Λεύκων, τὸ κύριον, παροξύνεται—λευκῶν, ἡ μετοχή, περισπᾶται· Λάθων, ὁ ποταμὸς Πενταπόλεως, παροξύνεται—λαθών, ἡ μετοχή, ὀξύνεται· Λέπτη, ὁ κρατῶν Αἰγύπτου, παροξύνετα —λεπτή, ἡ ἀστεία τῷ σώματι, ὀξύνεται.

‖ Μένω, ὁ ἐνεστώς, παροξύνεται —μενῶ, ὁ μέλλων, περισπᾶται· μόνη, φ 257 β
τὸ τριγενές, παροξύνεται — μονή, ἡ κατὰ μόνας ἢ τὸ μοναστήριον, τὸ μονογενές, ὀξύνεται· Μύλλος, τὸ κύριον, παροξύνεται, οὗτος δὲ πρῶτος μίλτῳ τὸ πρόσωπον ἐχρίσατο—μυλλός, ὁ διεστραμμένος τὰς ὄψεις, ὀξύνεται—μύλος, τὸ προσηγορικόν, παροξύνεται. Μάκρον, ἀκρωτήριον Σικελίας, παροξύνεται —μακρόν, τὸ ἐπίμηκες, ὀξύνεται· μείων, ὁ μικρότερος, παροξύνεται—μειῶν, ὁ ἐλαττῶν, περισπᾶται· Μηδική, ἡ Περσική, ὀξύνεται, μύω, τὸ καμῶ, παροξύνεται —μυῶ, τὸ διδάσκω, περισπᾶται· Μύρων, τὸ κύριον καὶ ἡ πόλις, παροξύνεται —μυρῶν, μερίζων, περισπᾶται· Μελιτίνη, τὸ κύριον, παροξύνεται — Μελιτινή, τὸ ἐθνικόν, ὀξύνεται.

Νομός, ἡ βοσκή, ὀξύνεται — νόμος, ἡ βασιλικὴ διάταξις, ὁ θεσμός, παροξύνεται· Νίκων, τὸ κύριον, παροξύνεται — νικῶν, ἡ μετοχή, περισπᾶται· νύμφιος, ὁ νυμφικός, προπαροξύνεται — νυμφίος, ὁ μνηστευόμενος, παροξύνεται· νόμεον, τὸ νόμιμον, προπαροξύνεται — νομαῖον, τὸ τῆς νομῆς, προπερισπᾶται· Νύμφαιον, πόλις Χερρονήσου, προπαροξύνεται — νυμφαῖον, τὸ τῶν νυμφῶν, προπερισπᾶται.

Ξάνθος, τὸ κύριον, παροξύνεται — ξανθός, τὸ τριγενές, ὀξύνεται· Ξάνθη, τὸ κύριον, παροξύνεται —ξανθή, τὸ ἐπιθετικόν, ὀξύνεται· Ξένων, τὸ κύριον, παροξύνεται — ξενῶν, τὸ περιεκτικόν, περισπᾶται·

Ὅρμος, ὁ λιμήν, παροξύνεται — ὁρμός, ὁ περιτραχήλιος κόσμος, ὀξύνεται· Ὄρθος, τὸ κύριον, παροξύνεται· ἔστι δὲ ὄνομα κυνὸς ὃν ἀπέκτεινεν ὁ Ἡρακλῆς — ὀρθός, ὁ ἴσος, τὸ ἐπιθετικόν· ὀξύνεται· οὔκουν, οὐδαμῶς, παροξύνεται — οὐκοῦν, ὁ σύνδεσμος ὅτε σημαίνει τὸ ἄρα, περισπᾶται· οἶος, ὁ μόνος, προπερισπᾶται — Οἰός, ὁ δῆμος τῆς Ἀττικῆς, ὀξύνεται· ὅλος, τὸ τριγενές, παροξύνεται — ὀλός, τὸ τῆς σηπίας βάμγα, ὀξύνεται· ὅμως, ὁ ἐναντιωματικὸς σύνδεσμος, παροξύνεται — ὁμῶς, ὁμοίως, περισπᾶται· ὅμοιος, ὁ ταυτός, ἐπὶ τῶν καταλογάδην, προπαροξύνεται — ὁμοῖος, ἐπὶ τῶν ἐπῶν, προπερισπᾶται· Ὄφλων, ἔθνος Ἀρμενίας, παροξύνετα. —ὀφλῶν, ἡ μετοχή, ὁ ὠφελῶν, περισπᾶται· πατρῷος, τὸ κτητικόν, προπερισπᾶται — πατρωός, ὀξύνεται· πρών, ἡ μετοχὴ τοῦ ὄρους —πρῷν, περισπᾶται, ὅτε δηλοῖ τὸ ἤδη, πρῴην γὰρ ἦν· πείρω, τὸ διαπλέκω, παροξύνεται — πειρῶ, τὸ πειράζω, περισπᾶται· Πλούτων, τὸ ὄνομα τοῦ ᾄδου, παροξύνεται — πλουτῶν, ἡ μετοχή, περισπᾶται· Πελείας, τὸ κύριον, παροξύνεται — πελειάς, τὸ προσηγορικόν, ὀξύνεται· Πύρρος, τὸ κύριον, παροξύνεται — πυρρός, τὸ τριγενές, ὀξύνεται· πίνων,

ἐπὶ τῆς πόσεως, παροξύνεται — πεινῶν, ἐπὶ τῆς βρώσεως, περισπᾶται· φ 258 α || πόνηρος, ὁ μοχθηρός, προπαροξύνεται — πονηρός, ὁ κακός, ὁ φαῦλος, ὀξύνεται· ποῖος, τὸ ἐρωτηματικὸν, προπερισπᾶται — ποιός, ὁ πεποιωμένος, ὀξύνεται· πέρι, ἡ πρόθεσις ἀναστρέφουσα, παροξύνεται — περὶ, ἡ πρόθεσις οὐκ ἀναστρέφουσα, βαρύνεται· Πάν, τὸ ζῷον, ὁ περὶ τὸν Διόνυσον δαίμων, ὀξύνεται — πᾶν, τὸ οὐδέτερον, περισπᾶται· πρωτόγονος, ὁ πρῶτος τεχθείς, προπαροξύνεται — πρωτογόνος, ἡ πρώτως τεκοῦσα, παροξύνεται· Πολέμων, τὸ κύριον, παροξύνεται — πολεμῶν, ἡ μετοχή, περισπᾶται· πλείων, περισσότερον, τὸ συγκριτικόν, παροξύνεται — πλειών, ὁ ἐνιαυτός, ὀξύνεται· παιδεία, ἡ παίδευσις, παροξύνεται — παιδιά, ὁ γέλως καὶ τὸ παίγνιον, ὀξύνεται· πρῶτος, ὁ τάξει προέχων, προπερισπᾶται — πρωτός, ὁ εἱμαρμένος, ὁ ὑποπεπτωκώς, ὀξύνεται· Παρθενίκη, τὸ κύριον, παροξύνεται· ταύτῃ δὲ συγγενόμενος Ὠκεανὸς γεννᾷ Εὐρώπην καὶ Θρᾴκην — παρθενική, ἡ παρθένος, ὀξύνεται· Πύλαιος, τὸ κύριον, προπαροξύνεται — πυλαιός, ὁ ἀπὸ τοῦ πύλου Ἑρμοῦ, ὀξύνεται· πότος, τὸ συμπόσιον, παροξύνεται — ποτός, ἡ πόσις, ὁ πόσιμος, ὀξύνεται· παίων, ὁ τύπτων, παροξύνεται — παιών, τὸ πολεμικὸν βέλος, ὀξύνεται· πεύκιος, ὁ ἀπὸ τοῦ πευκίνου ξύλου, προπαροξύνεται — Πευκεῖος, τὸ ἐθνικόν, τὸ ἀπὸ Πεύκης πόλεως, προπερισπᾶται· Πάλλας, τὸ κύριον, ἔστιν ὄνομα ἥρωος, παροξύνεται — Παλλάς, ἡ Ἀθηνᾶ, ὀξύνεται· Πρασία, ἡ πόλις τῆς Πελοποννήσου, παροξύνεται — πρασιά, τὸ γεωργικὸν σχῆμα, ὀξύνεται· ποῖα, τὸ ἐρωτηματικὸν ὄνομα, προπερισπᾶται — ποιά, ἡ ποιότης, ὀξύνεται.

Ῥόδιος, τὸ ἐθνικόν, προπαροξύνεται — Ῥοδίος, τὸ κύριον, ἔστι δὲ ποταμὸς Τρῳάδος, παροξύνεται· Ῥίπη, ἡ πόλις, παροξύνεται — ῥιπή, ἡ πνοὴ τοῦ ἀνέμου, ὀξύνεται· Ῥόδον, τὸ κύριον, παροξύνεται — ῥοδών, ὁ τόπος ὁ περιέχων τὰ ῥόδα, ὀξύνεται· ῥινή, τὸ τῶν χαλκέων ἐργαλεῖον, ὀξύνεται — ῥίνη, τὸ θαλάσσιον ζῷον, παροξύνεται· ῥιγεῖον, τὸ ῥῖγος, προπερισπᾶται — ῥίγιον, τὸ φρικτόν, προπαροξύνεται· Ῥύμος, ὁ ποταμὸς Σκυθίας, παροξύνεται — ῥυμός, ὁ χαλινός, ὀξύνεται.

Σταφύλη, τὸ τεκτονικὸν σκεῦος, παροξύνεται — σταφυλή, ὁ καρπός, ὀξύνεται, καὶ ἡ κιονίς· Σπάρτη, τὸ κύριον, παροξύνεται — σπαρτή, ἡ ἐσπαρμένη, ὀξύνεται· Σηρική, τὸ ἐθνικόν, ὀξύνεται — Συρίκη, τὸ κύριον, παροξύνεται· στρατεία, τὸ ἀξίωμα, παροξύνεται — στρατιά, τὸ πολεμικὸν πλῆθος, ὀξύνεται· Σίνων, τὸ κύριον, παροξύνεται — σινῶν, ἡ μετοχή, περισπᾶται· στένων, ὁ στενάζων, παροξύνεται — στεινῶν, ὁ στενοχωρῶν, περισπᾶται· στίλβον, τὸ λάμπον, παροξύνεται — στιλβόν, τὸ λαμπρόν, τὸ ἐστιλβωμένον, ὀξύνεται· σχέδιος, ὁ λόγος, προπαροξύνεται — Σχεδίος, τὸ κύριον, παροξύνεται· Σίμων, τὸ κύριον, παροξύνεται — σιμῶν, ἡ μετοχή, περισπᾶται· σίμος, ὁ ἰχθύς, παροξύνεται — σιμός, τὸ ἐπίθετον, ὀξύνεται· Σάρων, θαλάσσιος δαίμων, ὀξύνεται — σαρῶν, ὁ κοσμῶν τὴν γῆν, περισπᾶται· Σίγηλος, τὸ κύριον, προπαροξύνεται· οὕτω δὲ ἐκαλεῖτο πρῶτον ὁ Νάρκισος — σιγηλός, ὁ σιωπηλός, ὀξύνεται.

Τρύφων, τὸ κύριον, παροξύνεται — τρυφῶν, ἡ μετοχή, περισπᾶ- φ 258 β ται· τρίτων, τὸ προσηγορικόν, παροξύνεται — τριτῶν, ἡ μετοχή, περισπᾶται· τηλέσκοπος, ὁ πόρρω βλεπόμενος, προπαροξύνεται — τηλεσκόπος, ὁ πόρρωθεν βλέπων, παροξύνεται· Τῦρος, ἡ πόλις, προπερισπᾶται — τυρός, τὸ προσηγορικόν, τὸ πεπηγός γάλα, ὀξύνεται· τίνες, τὸ ἐρωτηματικόν, παροξύνεται — τινές, τὸ ἀόριστον, ὀξύνεται· τύφων, ὁ καίων, ἡ μετοχή, παροξύνεται — τυφών, τὸ θηρίον, ὁ δράκων, ὀξύνεται· τόμος, ὁ χάρτης, παροξύνεται — τομός, ὁ τμητικός, ὀξύνεται· Τύχων, ὁ περὶ τὴν Ἀφροδίτην θεός, παροξύνεται — τυχών, ἡ μετοχή, ἐπιτυχών, ὀξύνεται· Τύρας, ὁ ποταμὸς Ἁρματίας, παροξύνεται — τυράς, ὁ τυροποῦλος, ὀξύνεται· Τίλων, τὸ κύριον, παροξύνεται — τιλῶν, ἡ μετοχή, περισπᾶται·

Φᾶρος, τὸ ἔνδυμα, προπερισπᾶται — Φάρος, ἡ νῆσος, παροξύνεται· Φάνος, τὸ κύριον, παροξύνεται — φανός, τὸ προσηγορικόν, ὀξύνεται· φῶς, τὸ φέγγον, περισπᾶται — φώς, ὁ ἄνθρωπος, ὀξύνεται· φόρος, τὸ ἐνιαύσιον τέλος, παροξύνεται — φορός, ὁ ἐπιτήδειος ἄνεμος, ὀξύνεται· Φαῖδρος, τὸ κύριον, προπερισπᾶται — φαιδρός, ὁ λαμπρός, ὀξύνεται· φάσις, ἡ ἀγγελία, ὀξύνεται — Φᾶσις, ὁ ποταμὸς Κολχίδος, προπερισπᾶται· Φαῖα, ἡ πόλις τῆς Πιερίας, προπερισπᾶται — φαιά, ἡ μέλαινα, ὀξύνεται· Φυλάκη, ἡ πόλις, παροξύνεται — φυλακή, τὸ δεσμωτήριον, ὀξύνεται· φλήναφος, ἡ φλυαρία, προπαροξύνεται — φληνάφος, ὁ φλύαρος, παροξύνεται· φιλήτης, ὁ κλέπτης, παροξύνεται — φιλητής, ὁ ἐραστής, ὀξύνεται.

Χαρίτων, τὸ κύριον, παροξύνεται — χαριτῶν, ἡ μετοχή, περισπᾶται· χάριεν, ἀντὶ τοῦ χαριέντως, προπαροξύνεται — χαρίεν, τὸ ἐπίχαρες, παροξύνεται· Χίτων, ἡ πόλις, παροξύνεται — χιτών, τὸ ἔνδυμα, ὀξύνεται· Χίλων, τὸ κύριον, παροξύνεται — χιλῶν, ἡ μετοχή, περισπᾶται· χεῖλος, τὸ μέλος τοῦ στόματος, προπερισπᾶται — χιλός, ἡ τροφή, ὀξύνεται· Χία, τὸ ἐθνικόν, παροξύνεται — χειά, ἡ κατάδυσις τοῦ ὄφεως, ὀξύνεται· Χρῆστος, τὸ κύριον, προπερισπᾶται — χρηστός, ὁ ἐπιεικής, ὀξύνεται· Χίων, τὸ κύριον, ὅς καθῆρεν Ἡρακλέα, παροξύνεται — χιών, τὸ θηλυκόν, ὀξύνεται· χρόα, ἄνευ τοῦ ἰῶτα, παροξύνεται — χροιά, μετὰ τοῦ ῖ, ὀξύνεται.

Ψάλλω, ὁ ἐνεστώς, παροξύνεται — ψαλῶ, ὁ μέλλων, περισπᾶται, δι᾿ ἑνὸς λ· Ψύχρος, ποταμός Ἁρματίας, παροξύνεται — ψυχρός, ὁ ἀπεψυγμένος, ὀξύνεται.

Ὦμος, τὸ μέλος τοῦ σώματος, προπερισπᾶται — ὠμός, ὁ ἄγριος, ὁ ἀπηνής, ὀξύνεται· ὦχρος, ἡ ὠχρίασις, προπερισπᾶται — ὠχρός, ὁ χλωρός, τὸ τριγενές, ὀξύνεται· ὦ, τὸ ἄρθρον ἢ ὁ λόγος, περισπᾶται — ὤ, σχετλιαστικὸν ἐπίρρημα, ὀξύνεται· ὥρα, τὸ κάλλος, δασύνεται — ὤρα, ἡ φροντίς, ψιλοῦται.

10. 34) πιθανῶς: Σαρματίας.
20 ἡ φλιαρία A.